γήρεας ὕμνους;' | ἀλλ' ἄτοπον· ἔρωτες γὰρ ἔτι πολλοὶ τῶν 406
ἀνθρώπων ἐπιστρέφονται, ψυχαῖς ⟨δ'⟩ ὁμιλοῦντες οὐκ
εὐφυῶς οὐδ' ἑτοίμως πρὸς μουσικὴν ἐχούσαις ἄναυλοι μὲν
καὶ ἄλυροι λάλοι δ' οὐδὲν ἧττόν εἰσι καὶ διάπυροι τῶν
παλαιῶν· ἔτι ⟨δ'⟩ οὐδ' ὅσιον εἰπεῖν ἢ καλὸν ὡς ἀνέραστος
ἦν ἡ Ἀκαδήμεια καὶ ὁ Σωκράτους καὶ Πλάτωνος χορός,
ὧν λόγοις μὲν ἐρωτικοῖς ἐντυχεῖν ἔστι, ποιήματα δ' οὐκ
ἀπολελοίπασι. τί δ' ἀπολείπει τοῦ λέγοντος ἐρωτικὴν μό-
νην γεγονέναι Σαπφὼ γυναικῶν ⟨ὁ⟩ μαντικὴν ⟨φάσκων
μόνην⟩ γεγονέναι Σίβυλλαν καὶ Ἀριστονίκαν καὶ ὅσαι διὰ
μέτρων ἐθεμίστευσαν; 'ὁ μὲν γὰρ οἶνος' ὥς ἔλεγε Χαιρή- B
μων (fr. 16) 'τοῖς τρόποις κεράννυται τῶν πινόντων'· ὁ
δὲ μαντικὸς ἐνθουσιασμός, ὥσπερ ὁ ἐρωτικός, χρῆται τῇ
ὑποκειμένῃ δυνάμει καὶ κινεῖ τῶν δεξαμένων ἕκαστον καθ'
ὃ πέφυκεν.'

**24.** 'Οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ θεοῦ καὶ τῆς προνοίας
σκοποῦντες ὀψόμεθα πρὸς τὸ βέλτιον γεγενημένην τὴν
μεταβολήν. ἀμοιβῇ γὰρ ἔοικε νομίσματος ἡ τοῦ λόγου
χρεία, καὶ δόκιμον καὶ αὐτοῦ τὸ σύνηθές ἐστι καὶ γνώρι-
μον, ἄλλην ἐν ἄλλοις χρόνοις ἰσχὺν λαμβάνοντος. ἦν οὖν
ὅτε λόγου νομίσμασιν ἐχρῶντο μέτροις καὶ μέλεσι καὶ
ᾠδαῖς, πᾶσαν μὲν ἱστορίαν καὶ φιλοσοφίαν πᾶν δὲ πάθος
ὡς ἁπλῶς εἰπεῖν καὶ πρᾶγμα σεμνοτέρας φωνῆς δεόμενον C
εἰς ποιητικὴν καὶ μουσικὴν ἄγοντες. οὐ γὰρ μόνον νῦν
⟨μὲν⟩ ὀλίγοι μόλις ἐπαΐουσι, τότε δὲ πάντες ἠκροῶντο καὶ
ἔχαιρον ᾀδομένοις ⟨'μηλοβόται τ'⟩ ἀρόται τ' ὀρνιχολόχοι τε'
κατὰ Πίνδαρον (Isth. I 48), ἀλλ' ὑπὸ τῆς πρὸς ποιητικὴν
ἐπιτηδειότητος οἱ πλεῖστοι διὰ λύρας καὶ ᾠδῆς ἐνουθέτουν